ESSENTIALS IN GREEK. Syllabus (1991) by Thomas V. Taylor



Just another short page of Greek...read and complete the instructions from page 71.

Οὗτοι οἱ μαθηταὶ τοῦ Ἰωάνου ἤρχοντο πρὸς τὸν κύριον αὐτῶν καὶ εἶπον· τί ἐστι τὸ ἅγιον πνεῦμα; Ἀπεκρίθη δὲ Ἰωάνης· αὐτὸ ὁ θεὸς δώσει τοῖς πιστεύουσιν ἐν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ· ἐπ' ἐκείνους ἐλεύσεται τὸ πνεῦμα τὸ ἅγιον. Οὐκ ἐλεύσεται τὸ πνεῦμα ἐπὶ τοὺς Ἰουδαίους.

Καὶ ἡ μήτηρ Ἰακώβου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Ἰωάνου ἦλθεν πρὸς τὸν Ἰησοῦν καὶ εἶπεν· δὸς τοῖς υἱοῖς μου πᾶν ὃ λέγω. Ἀπεκρίθη ὁ Ἰησοῦς· οὐ δύναμαι ποιεῖν τοῦτο. Ἀλλὰ δύναται ὁ πατήρ.

Ἐν ταῖς ἡμέραις ἐκείναις ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲθ εἰς τὴν Ἰουδαίαν γῆν μετὰ τῶν μαθητῶν αὐτοῦ. Καὶ εἶπεν ὁ κύριος· ἔρχεσθε πρός με, πάντες οἱ πιστεύοντες ἐν τῷ θεῷ. Πιστεύετε εἰς τὸν θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. Οἱ μαθηταὶ ἀπεκρίθησαν· πιστεύομεν, κύριε. Ἀλλ' ὁ Ἰησοῦς εἶπεν· ἡ ἡμέρα τοῦ κυρίου ἐλεύσεται. Δύνασθε πιστεύειν; Ἀπεκρίθησαν δέ· κύριε, δυνάμεθα.

Καὶ γυνή τις, ἡ Μαγδαληνή, ἤρχετο πρὸς τοὺς μαθητὰς καὶ ἔλεγεν· οἴδατε τὸν Ἰησοῦν, τὸν χριστόν; Οἱ δὲ μαθηταὶ ἀπεκρίθησαν· οἴδαμεν Ἰησοῦν, ἄνδρα ἅγιον, τὸν υἱὸν Ἰωσήφ. Καὶ αὐτὴ ἦλθεν πρὸς τὸν κύριον ὃς εἶπεν αὐτῇ· ὁ θεὸς πατήρ σού ἐστιν. Ἡ γυνὴ εἶπεν· ἐγὼ πιστεύω εἰς τὸν θεόν. Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη τῇ γυναικί· πιστεύεις εἰς ἐμέ; Ἡ δὲ γυνὴ ἀπεκρίθη αὐτῷ καὶ λέγει· πιστεύω, κύριε. Εἶπεν δὲ ὁ κύριος πρὸς τὴν γυναῖκα· σὺ μαθητής μου εἶ. Καὶ ὁ θεὸς βαπτίσει πάντας τοὺς μαθητάς μου ἐν πνεύματι ἁγίῳ. Καὶ οὕτως οἱ μαθηταὶ βαπτίσουσι πάντας τοὺς ἀνθρώπους—γυναῖκας καὶ ἄνδρας—ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Ἀμήν.

Μετὰ τοῦτο ἐξῆλθεν ὁ Ἰησοῦς ἀπὸ Κανὰ τῆς Γαλιλαίας, καὶ ἦλθεν εἰς Καφαρναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἐλάλησεν τὸν λόγον τοῖς ἀνθρώποις ἐκείνοις. Οἱ δὲ ἄνθρωποι ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ τοῦ Ἰωσὴφ υἱός; Οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσὴφ καὶ Σίμων καὶ Ἰούδας; Καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν; Οὕτως οὐκ ἠδυνήθησαν πιστεύειν.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον τῷ Ἰησοῦ οἱ ἄνθρωποι τοῦ Ἰσραὴλ λέγοντες· ἐν τίνι ἐξουσίᾳ ταῦτα ποιεῖς; Καὶ τίς σοι

http://www.taylorlib.ibri.org/Taylor-Writings/1991-GreekEssentials/README.htm